**Ησιοδος, Θεογονια 856—68**

Αυταρ επει δη μιν δαμασεν πληγησιν ιμασσας,
ηριπε γυιωθεις, στεναχιζε δε γαια πελωρη·
φλοξ δε κεραυνωθεντος απεσσυτο τοιο ανακτος
ουρεος εν βησσησιν αϊδνης παιπαλοεσσης
πληγεντος· πολλη δε πελωρη καιετο γαια
ατμη θεσπεσιη και ετηκετο κασσιτερος ως
τεχνη υπ αιζηων εν εϋτρητοις χοανοισι
θαλφθεις, ηε σιδηρος, οπερ κρατερωτατος εστιν,
ουρεος εν βησσησιν αϊδνης παιπαλοεσσης
τηκεται εν χθονι διη υφ Ηφαιστου παλαμησιν.
Ως αρα τηκετο γαια σελαϊ πυρος αιθομενοιο·
ριψε δε μιν θυμω ακαχων ες Ταρταρον ευρυν.

**Απολλωνιος Ροδιος, Αργοναυτικα, Γ 844—86**

Η δε τεως γλαφυρης εξειλετο φωριαμοιο
φαρμακον, ο ρα τε φασι Προμηθειον καλεεσθαι.
τω ει κ εννυχιοισιν αρεσσαμενος θυεεσσιν
Κουρην μουνογενειαν εον δεμας ικμαινοιτο,
η τ αν ογ ουτε ρηκτος εοι χαλκοιο τυπησιν,
ουτε κεν αιθομενω πυρι εικαθοι· αλλα και αλκη
λωιτερος κειν ημαρ ομως καρτει τε πελοιτο.
πρωτοφυες τογ ανεσχε καταστaξαντος εραζε
αιετου ωμηστεω κνημοις ενι Καυκασιοισιν
αιματοεντ ιχωρα Προμηθηος μογεροιο.
του δ ητοι ανθος μεν οσον πηχυιον υπερθεν
χροιη Κωρυκιω ικελον κροκω εξεφααντη,
καυλοισιν διδυμοισιν επηορον· η δ ενι γαιη
σαρκι νεοτμητω εναλιγκιη επλετο ριζα.
της οιην τ εν ορεσσι κελαινην ικμαδα φηγου
Κασπιη εν κοχλω αμησατο φαρμασσεσθαι,
επτα μεν αεναοισι λοεσσαμενη υδατεσσιν,
επτακι δε Βριμω κουροτροφον αγκαλεσασα,
Βριμω νυκτιπολον, χθονιην, ενεροισιν ανασσαν,
λυγαιη ενι νυκτι, συν ορφναιοις φαρεεσσιν.
μυκηθμω δ υπενερθεν ερεμνη σειετο γαια,
ριζης τεμνομενης Τιτηνιδος· εστενε δ αυτος
Ιαπετοιο παις οδυνη περι θυμον αλυων.
το ρ ηγ εξανελουσα θυωδεϊ κατθετο μιτρη,
ητε οι αμβροσιοισι περι στηθεσσιν εερτο.
εκ δε θυραζε κιουσα θοης επεβησατ απηνης·
συν δε οι αμφιπολοι δοιαι εκατερθεν εβησαν.
αυτη δ ηνι εδεκτο και ευποιητον ιμασθλην
δεξιτερη, ελαεν δε δι αστεος· αι δε δη αλλαι
αμφιπολοι, πειρινθος εφαπτομεναι μετοπισθεν,
τρωχων ευρειαν κατ αμαξιτον· αν δε χιτωνας
λεπταλεους λευκης επιγουνιδος αχρις αειρον.